

**Ὁ Ὅσιος Κοσμᾶς, ὁ Ἐρημίτης.**
**Τοιχογραφία, ἐκ τοῦ Καθολικοῦ τῆς Ἱ. Μονῆς Ἀγκαράθου, Ἡρακλείου Κρήτης.**
**Διὰ χειρός, Μιχαὴλ Βασιλάκη (1977-81).**

## ΣΕΠΤΕΜΒΡΙΟΥ Β΄
## ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
## ΚΟΣΜΑ ΤΟΥ ΕΡΗΜΙΤΟΥ
## ΤΟΥ ΕΝ ΚΡΗΤΗι ΑΣΚΗΣΑΝΤΟΣ*.

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια τοῦ Ὁσίου.

Ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Φιλέορτοι νῦν δεῦτε πιστῶς, τὸν θεῖον εὐφημήσωμεν, ἐρημίτην, τὸν ἰσάγγελον Κοσμᾶν· καὶ γὰρ Χριστῷ πρεσβεύει, εὐσπλάγχνως δωρηθῆναι, ἡμῖν εἰρήνην ἀστασίαστον.

Κατέλιπες ἁπάσας τῆς γῆς, θεόφρον τὰς τερπνότητας, καὶ ἐπ᾽ ὤμων, τὸν Σταυρὸν ἀναλαβών, τοῖς ἴχνεσι τοῖς θείοις, Χριστοῦ τοῦ ζωοδότου, Κοσμᾶ συντόνως ἠκολούθησας.

Ἐλάτρευσας ὁσίως Χριστῷ, ζωῇ τῇ ἐναρέτῳ σου, ἀποῤῥίψας, ἅπαν ἄχθος γεηρόν, φρονήσεως ὡς πλήρης, Κοσμᾶ θεόφρον πάτερ, τοῖς Ἀσωμάτοις ἰσοστάσιε.

Ἀγάλλεται ἡ Κρήτη τρανῶς, βλαστόν σε ὡς ἀμάραντον, εὐφημοῦσα, θεοτίμητε Κοσμᾶ, ἀεὶ ἣν περιφρούρει, ἀλώβητον ἐκ πάσης, ἐπιβουλῆς τῇ ἀντιλήψει σου

Δόξα Πατρί. Ἦχος β΄.

Ὅσιε πάτερ, Κοσμᾶ μακαριώτατε, ἀφειδήσας τελείως τοῦ σώματος, ψυχῆς τὴν κατάστασιν ηὐτρέπισας, ἀσκητικῇ ἐπιμελείᾳ· διό σε ὡς καθαρόν, εἰς κατοικίαν ἑαυτῆς, τοῦ Παρακλήτου Πνεύματος, ἡ χάρις ᾑρετίσατο. Ἀλλὰ πρέσβευε τῷ ἐν Τριάδι Θεῷ, τὴν εἰρήνην δωρήσασθαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Οἶκον τῶν ἀρετῶν, σαυτὸν ἀποτελέσας, ἀσκήσας ὑπὲρ φύσιν, δοχεῖον ἀνεδείχθης, Κοσμᾶ Θεοῦ τῆς χάριτος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

---

* Ἡ Ἀκολουθία τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ἐρημίτου ἐποιήθη ἐν ἔτει 1993, ὑπὸ τοῦ Ἱερομονάχου Κυρίλλου Κογεράκη καὶ δημοσιεύεται τὸ πρῶτον ἐνταῦθα.

Νοῦν σου πρὸς τὸν Θεόν, Κοσμᾶ ἀναπτερώσας, τὸν κόσμον ἀπηρνήσω, καὶ ἔφθασας Ἀγγέλων, τῷ βίῳ σου τὰ τάγματα.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Πρέσβευε τῷ Χριστῷ, ὡς ἔχων παῤῥησίαν, Κοσμᾶ θεόφρον πάτερ, ἡμῖν τὴν τῶν πταισμάτων, συγχώρησιν δωρήσασθαι.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὦ Τριάς, Πάτερ Υἱὲ καὶ Πνεῦμα, ἡ παντουργὸς Θεότης· εἰρήνην δὸς τῷ κόσμῳ, Κοσμᾶ ταῖς παρακλήσεσι.

Καὶ νῦν. Θεοτοκίον.

Λῦσον ὡς ἀγαθή, τὸ τῶν ἁμαρτιῶν μου, χειρόγραφον Παρθένε, ἵνα σε μακαρίζω, τὴν μόνην ἀειπάρθενον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ, καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάτερ παμμακάριστε Κοσμᾶ, τηλαυγῶς ἡ μνήμη σου, ὥσπερ ἀστὴρ οὐρανόφωτος, ἐξανατείλασα, καταυγάζει πάντας, τοὺς πόθῳ γεραίροντας, ἐν ὕμνοις ἐγκωμίων τὸν βίον σου, δι᾽ οὗ δεδόξασαι, ἐν ὑψίστοις καὶ τῆς κρείττονος, τῶν Ἀγγέλων τιμῆς κατηξίωσαι.

Πάτερ παναοίδιμε Κοσμᾶ, τὸν νοῦν διὰ πίστεως, πρὸς τὸν Θεὸν ἀνεπτέρωσας, ἀπὸ νεότητος, καὶ ἐμφρόνως πᾶσαν, βίου τὴν προσπάθειαν, μισήσας τὸν Σταυρὸν ἐπωμάδιον, χαίρων ἀνέλαβες, τῷ κελεύσματι ὑπήκοος, τοῦ Χριστοῦ τοῦ Σωτῆρος γενόμενος.

Πάτερ θεοφόρητε Κοσμᾶ, Θεὸν ἐξεζήτησας, κατατρωθεὶς τὴν καρδίαν σου, ἐνθέῳ ἔρωτι, καὶ ἐν ἐρημίαις, σπηλαίοις καὶ ὄρεσι, τῆς Κρήτης εὐσεβῶς διαιτώμενος, τούτῳ συνήντησας, ὡς ἐπόθησας ἀοίδιμε, ἀρετῶν ἱεραῖς ἀναβάσεσι.

Πάτερ ἀγγελότροπε Κοσμᾶ, στενοτάτην ὥδευσας, ὁδὸν καὶ λίαν ἐπίπονον, στεῤῥῷ φρονήματι, ἐρημίτην βίον, ὅσιον καὶ ἄμεμπτον, μιμήσει τοῦ Προδρόμου ἑλόμενος· ὅθεν κατήντησας, πλατυσμὸν εἰς ἐπουράνιον, Παραδείσου Ὁσίων σὺν τάξεσι.

Πάτερ θεοτίμητε Κοσμᾶ, κόσμου μακρυνόμενος, καὶ τῷ Θεῷ συγγινόμενος, βίῳ ἀπράγμονι, ὡράθης ἐν κόσμῳ, πολιτείαν ἄσαρκον, ἐφέσει τῶν μελλόντων μιμούμενος, καὶ ἐχρημάτισας, φῶς ἀνέσπερον δεξάμενος, ἐν ψυχῇ σου τὸ φῶς τῆς θεώσεως.

Πάτερ πανσεβάσμιε Κοσμᾶ, ἡ ἐνεγκαμένη σε, Κρήτη κομπάζει τῇ δόξῃ σου, ἀνακραυγάζουσα· χαίροις ἡσυχίας, ἄνθος θεομύριστον, κανὼν τε προσευχῆς καὶ ἀσκήσεως· χαίροις μακάριε, ὁ Χριστῷ νῦν παριστάμενος, σὺν Ἁγίων χοροῖς εὐφραινόμενος.

Δόξα Πατρί. Ἦχος πλ. α΄.

Ὅσιε πάτερ, Κοσμᾶ μακαριώτατε, τίς σε κατ᾽ ἀξίαν ἐπαινέσει; ἢ ποία γλῶσσα φθέγξεται πρεπωδῶς, τῆς ἰσαγγέλου ζωῆς σου, τὰ ὑπὲρ φύσιν χαρίσματα; σὺ γὰρ τῶν βιοτικῶν θορύβων μακρυνόμενος, καὶ ἐν ἐρημίαις ἀεὶ πίστει διαιτώμενος, τῶν παθῶν τὰς ἐφόδους ἀπέκρουσας, τὸ χεῖρον τῷ κρείττονι καθυπέταξας, καὶ ναὸν σαυτὸν ἔμψυχον, δι᾽ ἀρετῆς Θεῷ ἀπετέλεσας. Ὅθεν ὁ Κύριος ἐν σοὶ εὐαρεστηθείς, τῆς μακαριότητος τῶν Ἁγίων, ἐν ταῖς σκηναῖς τῆς ζωῆς κατηξίωσεν. Αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, τῇ οἰκουμένῃ τὴν εἰρήνην δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ, τῆς ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. Ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος, ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ, νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος· ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραήλ, ἔμεινεν ἄβατος· ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουήλ, ἔμεινεν ἄφθορος. Ὁ ὢν καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ΄ 1-9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα
(Κεφ. ε΄ 5-15, στ΄ 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ΄ 7)

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, ἡ μεγαλόνησος Κρήτη, ἐπὶ τῇ μνήμῃ σήμερον, Κοσμᾶ τοῦ οὐρανόφρονος. Ἰδοὺ γὰρ οὗτος ὁ μακάριος, ἐν ταῖς ἐρημίαις σου θεϊκῇ γεωργίᾳ, ὡς ἄνθος ἀμάραντον ἐξανθήσας, τῇ εὐωδίᾳ τῶν αὐτοῦ ἀρετῶν, μυστικῶς σε ἐπλήρωσε. Τέρπου οὖν καὶ χόρευε, τῇ θείᾳ δόξῃ αὐτοῦ, καὶ ὕμνον ἑόρτιον κροτοῦσα, γηθοσύνως Θεῷ ἀναβόησον· ὑπερύμνητε Κύριε, ὁ τοῦ Ὁσίου σου τὴν ἄσκησιν, ὡς θυσίαν ζῶσαν προσδεξάμενος, καὶ αὐτὸν τοῖς θαύμασι δοξάσας, Φιλάνθρωπε δόξα σοι.

Ἦχος β΄.

Ὅσιε πάτερ, εὐπειθὴς Κυρίου τῷ λόγῳ γενόμενος, τὸν Σταυρὸν ἐπ' ὤμων σου ἀνέλαβες, καὶ ἀσκητικῶς αὐτῷ ἠκολούθησας, μονώτατος ἐν ἐρήμοις τόποις διαιτώμενος, καὶ ἐν πένθει προσευχαῖς νηστείαις τε καὶ ἀγρυπνίαις, αὐτὸν δαυϊτικῶς προσδεχόμενος· ἔρωτι γὰρ θείῳ ἐτρώθης τὴν ψυχήν, καὶ κατεφρόνησας πάσης, ὑλικῆς προσπαθείας καὶ σχέσεως. Ὅθεν τοῦ πόθου σου τὸ πέρας καταλαβών, τῶν ἐκλεκτῶν τοῖς χοροῖς συνηριθμήθης, καὶ ἑώρακας τὸ ἄδυτον φῶς, τὸν φωτισμὸν ἐξαιτούμενος, ἡμῖν τοῖς εὐφημοῦσί σε.

Ἦχος γ΄.

Κόσμου τοῦ ματαίου τὰς τερπνότητας, λογισμῷ θεοπνεύστῳ ἐξέκλινας, τῆς εὐρυχώρου ὁδοῦ

προτιμήσας, τὴν στενὴν ὦ Κοσμᾶ τῆς ἀσκήσεως· ἔνθεν ἐν ταῖς ἐρημίαις τῆς νήσου σου εὐσεβῶς, ὡς ἐν παραδείσῳ τρυφῆς αὐλιζόμενος, γυμνός τε ἀνυπόδητος καὶ ἄσκευος, τὸν παγετὸν τῆς νυκτὸς ἐνεκαρτέρησας, καὶ τῆς ἡμέρας τὸν καύσωνα καθυπέμεινας· τῇ δὲ ἄκρᾳ σκληραγωγίᾳ τοῦ σώματος, τὸν νοητὸν πολέμιον θανατώσας, δικαιοσύνης θεόθεν ἐδέξω, ἀξίως τὸν ἀμαράντινον στέφανον. Διὸ ἐν οὐρανοῖς νῦν στεφανηφορῶν, καὶ Χριστῷ εὐκλεῶς παριστάμενος, τὴν εἰρήνην ἐξαίτει, ταῖς ψυχαῖς τῶν τιμώντων σε.

Δόξα Πατρί. Ἦχος δ΄.

Δεῦτε πάντες οἱ πιστοί, τὸν τῇ προαιρέσει στεῤῥὸν ἀθλητήν, Κοσμᾶν τὸν ἀεισέβαστον, ἀνευφημοῦντες βοήσωμεν· χαίροις ἐγκρατείας συντόνου ἐπίδοσις, καὶ ὑπὲρ φύσιν βιοτῆς ὑποτύπωσις· χαίροις τοῦ βροτοκτόνου τὰς παρατάξεις ἐκπολεμήσας, καὶ ἀπαθείας τὴν χάριν ὑψόθεν κομισάμενος· χαίροις ἐρημιτῶν σεπτὸν ἐγκαλλώπισμα, τῶν μοναζόντων σεβάσμιον καύχημα, καὶ Κρήτης τῆς πατρίδος σου, ἡ μυστικὴ δᾳδουχία. Πρέσβευε οὖν Πάτερ θεσπέσιε, τῷ ἐλεήμονι Λόγῳ, Χριστῷ τῷ Θεῷ ἡμῶν, ἐλεηθῆναι καὶ σῶσαι, τὰς ψυχάς τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε κατετρώθης ὁλικῶς, ἔρωτι Κοσμᾶ τῷ ἁγίῳ, τὴν δεκτικήν σου ψυχήν, τότε τὰ ἐπίγεια, πάντα παρέδραμες, καὶ Χριστῷ ἠκολούθησας, τῷ σοὶ ποθουμένῳ, τὸν Σταυρὸν ἐπ᾽ ὤμων σου, ἀναλαβόμενος. Ὅθεν ἐγκρατείας ἀγῶσιν, ἔνθα τῆς ζωῆς καταυγάζει, φῶς τὸ ἐπουράνιον κατέπαυσας.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος...

Χαίρων ταῖς ἐλπίσι τῆς ζωῆς, βίον σου διήνυσας πάντα, ἐν ἡσυχίᾳ πολλῇ, ὡς πτηνὸν φιλέρημον, Κοσμᾶ μακάριε, ἐν σπηλαίοις καὶ ὄρεσιν, ἀεὶ φυγαδεύων, καὶ πολιτευόμενος, καθάπερ ἄσαρκος. Ὅθεν ἀρετῶν εἰς τὸ ὕψος, Πάτερ ἀνελθὼν ἐθεάσω, τοῦ Θεοῦ τὴν δόξαν τὴν ἀθέατον.

Στίχ. Τίμιος ἐναντίον Κυρίου...

Ἔνθα τῶν Ἀγγέλων οἱ χοροί, ἔνθα τῶν Ὁσίων οἱ δῆμοι, ἔνθα Δικαίων πληθύς, ἔνθα ἡ ἀνέκφραστος, θεία ἀπόλαυσις, εὐκλεῶς κατεσκήνωσας, Κοσμᾶ θεομάκαρ, σῆς στεῤῥᾶς ἀσκήσεως, λαβὼν τὰ ἔπαθλα. Ὅθεν τοὺς πιστῶς σε ὑμνοῦντας, φρούρει τε ἀπαύστως καὶ σκέπε, ταῖς πρὸς τὸν Φιλάνθρωπον πρεσβείαις σου.

Δόξα Πατρί. Ἦχος δ΄.

Τῷ θείῳ πυρπολούμενος ἔρωτι, ὑπὲρ φύσιν ἐπολιτεύσω ἐπὶ γῆς, ἐν ταῖς ἐρημίαις τῆς Κρήτης ἀσκητικῶς, τὸν ἐν ἐλέει πλούσιον Θεὸν ἐκζητήσας, Κοσμᾶ παναοίδιμε· τῶν ἐν τῷ κόσμῳ γὰρ ἐπαναστάς, ἐρημοπολίτης ἐμφρόνως ἐγένου, καὶ διελήλυθας τὸν ἅπαντα βίον σου, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ. Ἀλλ᾽ ὦ θεόληπτε Πάτερ, Χριστῷ ἐν οὐρανοῖς παριστάμενος, ἱκέτευε ἀπαύστως ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ἀναθεὶς τῷ Κυρίῳ, τὴν τοῦ σώματος πρόνοιαν, ἐρημοπολίτης ἐγένου, ὦ Κοσμᾶ ἱερώτατε, καὶ βίον μετελθὼν ἀγγελικόν, θεώσεως ηὐγάσθης τῷ φωτί, χρηματίζων φῶς ἀνέσπερον μυστικῶς, τοῖς πίστει ἀναβοῶσι· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Ἕτερον ὅμοιον.
Εὐαγγέλου Ἱερέως.

Ἐραστὴς οὐρανίων, ζηλωτὴς θείας χάριτος, ὅσιε Κοσμᾶ ἐρημῖτα, ἀνεδείχθης μακάριε· ἀσκήσεως δὲ κόπους ὑποστάς, ὑπέταξας σὸν θέλημα Θεῷ· τὸ δυσήνιον γὰρ σῶμα οἷα φθαρτόν, ἐδούλωσας τῷ πνεύματι. Δόξα τῷ δεδωκότι σοι ἰσχύν, δόξα τῷ σὲ χαριτώσαντι, δόξα τῷ στήσαντί σε πρεσβευτήν, πᾶσι θερμότατον.

Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως ἐβίωσας, ἐν ἡσυχίᾳ πολλῇ, ἐν Κρήτης τοῖς ὄρεσι, δαυϊτικῶς αὐλισθείς, Κοσμᾶ θείῳ ἔρωτι. Ὅθεν τῆς ἀπαθείας, ἐξαστράπτων τῇ αἴγλῃ, ἔνδον τῆς ἀϊδίου, προσεχώρησας δόξης, πρεσβεύων τῷ Κυρίῳ, ὑπὲρ τῶν τιμώντων σε.

Θεοτοκίον.

Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ ᾽Αγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

᾽Απόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Ἀνύσας ἀρετῶν, ἀνενδότῳ ἀσκήσει, τὴν κλίμακα Κοσμᾶ, μυστικῆς θεωρίας, θεάμων γεγένησαι, εὐδοκίᾳ τοῦ κρείττονος, καὶ ἀπείληφας, χάριν θεόθεν πλουσίαν, βλύζειν πάντοτε, ἐκ τῶν σεπτῶν σου λειψάνων, θαυμάτων τὰ νάματα.

Θεοτοκίον.

Ἐνῴκησεν ἐν σοί, Θεοτόκε Μαρία, ὁ Λόγος τοῦ Πατρός, ὁ ἀχώρητος πᾶσι, καὶ ὄντως ἀνέδειξεν, οὐρανῶν πλατυτέραν σε. Ὅθεν πᾶσαί σε, αἱ γενεαὶ τῶν ἀνθρώπων, μακαρίζομεν, εὐλογημένη βοῶντες· ἁγνὴ χαῖρε Δέσποινα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ΄. Θείας πίστεως.

Ὡς εὐκέλαδος χάριτος ὄρνις, χαίρων ἔπηξας τὴν καλιάν σου, ἐν τῆς Κρήτης τρισμάκαρ τοῖς ὄρεσιν· ἐντεῦθεν κούφως πτεροῖς τῆς ἀσκήσεως, πρὸς ἀπαθείας τὸ ὕψος ἐπέτασας. Ὅθεν πρέσβευε, Χριστῷ ὦ Κοσμᾶ μακάριε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Χαῖρε Δέσποινα εὐλογημένη, ἡ κυήσασα τὸν Ζωοδότην, σαρκωθέντα δι᾽ ἄφατον ἔλεος· χαῖρε Θεοῦ τὸ πυρίμορφον ὄχημα· χαῖρε τρυφῆς οὐρανίου παράδεισε. ᾽Αλλὰ πρέσβευε, Παρθένε θεομακάριστε, πταισμάτων δωρηθῆναι ἡμῖν ἄφεσιν.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τοῦ Προδρόμου τὸν βίον Πάτερ μιμούμενος, ἐν ἐρημίαις διῆλθες, τὴν ἐν ἀσκήσει ζωήν, προσδεχόμενος Θεοῦ τὸ θεῖον ἔλεος, οὗ δαψιλῶς ἐπιτυχών, χάριν ἐκβλύζεις τοῖς πιστῶς, τὴν μνήμην σου ἐκτελοῦσι, πάτερ Κοσμᾶ θεομάκαρ, ἐρημιτῶν τὸ ἐγκαλλώπισμα.

Θεοτοκίον.

Χαῖρε ἄχραντε Κόρη καὶ ὑπερύμνητε, τοῦ Πατρὸς ἡ τὸν Λόγον, ἀφράστως τέξασα· χαῖρε Δέσποινα Μαρία ἀπειρόγαμε· Χαῖρε ἡ πύλη τῆς ζωῆς· χαῖρε τὴν φύσιν τῶν βροτῶν, θεώσασα τῷ σῷ τόκῳ· ἀνύμφευτε χαῖρε νύμφη, ἡ προστασία τῶν τιμώντων σε.

Οἱ ᾽Αναβαθμοί, ἤτοι τὸ α΄ ᾽Αντίφωνον τῶν ᾽Αναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Εὐαγγέλιον, ζήτει τῇ ε΄ Δεκεμβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ὁσίου.... Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου.....

᾽Ιδιόμελον. Ἦχος πλ. β΄.
Στίχ. ᾽Ελέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου ...

Ὅσιε πάτερ, Κοσμᾶ μακαριώτατε, τῶν γεηρῶν ἀποκλίνων θεοσόφῳ φρονήματι, ἐν ἐρήμοις τόποις κατεσκήνωσας· ἐν οἷς τῷ παλαιῷ πτερνιστῇ, τῇ στεῤῥοτάτῃ ἀσκήσει συμπλακείς, τούτου τὴν ἔπαρσιν κατέβαλες, καὶ τρόπαιον αἰώνιον, ἀρετῆς τε καὶ ἀσκήσεως ἔστησας. Ὅθεν παρὰ Θεοῦ δεξάμενος, τῆς νίκης τὸν ἄφθαρτον στέφανον, ἐν οὐρανοῖς ὑπερφυῶς ἐδοξάσθης, καὶ παρέστης αὐτῷ εὐκλεῶς, πρεσβείαν ποιούμενος ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου καὶ ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ᾽Ακροστιχίς: «Χαῖρε Κοσμᾶ θεόφρον ἐρημῖτα. Κυρίλλου».

᾽Ωδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Χαριτωθεὶς ταῖς δωρεαῖς τῆς χάριτος, τῇ σῇ ἀσκήσει Κοσμᾶ, χάριν μοι ἐξαίτει, ταῖς εὐχαῖς σου ἄφθονον, ὡς ἂν ὑμνήσω σήμερον, τὴν ὁσίαν ζωήν σου, ᾗ τῶν ᾽Αγγέλων κατέπληξας, τὰς χοροστασίας ἀοίδιμε.

Ἀποῤῥαγεὶς τῶν μεριμνῶν ὡς πάνσοφος, τῆς φθειρομένης σαρκός, σώματος ἀνέθου, τῷ Θεῷ τὴν πρόνοιαν, καὶ ἔζησας ἀπράγμονα, καὶ ἡσύχιον βίον, ἀποσκοπῶν τὴν ἀΐδιον, ἐν Ἐδὲμ Κοσμᾶ ἀγαλλίασιν.

Ἵνα κερδήσῃς τὴν ζωὴν τὴν κρείττονα, παντὶ τῷ κόσμῳ Κοσμᾶ, καὶ τοῖς ἐν τῷ κόσμῳ, πᾶσι τεθανάτωσαι, ἐν τόποις διαιτώμενος, θεομάκαρ ἐρήμοις, καὶ τὸν Θεὸν ἱλεούμενος, τῇ σκληραγωγίᾳ τοῦ σώματος.

Θεοτοκίον.

Ῥεύσεως θέλων ὁ Θεὸς τῆς πάλαι με, ἐπανορθῶσαι ἐκ σοῦ, τῆς ἁγνῆς Παρθένου, ὄντως ἐνηνθρώπησε, καὶ πάντων σε ἀνέδειξε, κραταιὰν συμμαχίαν, τῶν προσκυνούντων τὸν τόκον σου, τὸν ἀπερινόητον Δέσποινα.

Καταβασία. Σταυρὸν χαράξας.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἐπιποθήσας κατιδεῖν, τοῦ Παραδείσου τὰ κάλλη, τῶν προσκαίρων ἀπηρνήσω τὴν σχέσιν, καὶ ηὐλίσθης ὦ Κοσμᾶ, τῆς Κρήτης ἐν τοῖς ὄρεσιν, ἔνθα τῆς ἡσυχίας, τὴν χάριν ἐκαρποφόρησας.

Καταφυγή σου ψαλμικῶς, καὶ δύναμις ὁ Δεσπότης, ὡς ὑπάρχων οὐδαμῶς τοῦ γηΐνου, θεοδόξαστε Κοσμᾶ, σκεύους σου οὐκ ἐφρόντισας· ἐν σοὶ γὰρ πίστις Πάτερ, ἐλπὶς ἀγάπη ἐπέλαμπεν.

Ὁλολαμπῆ περιβολήν, θεώσεως ἐνεδύσω, γυμνητεύσας ἐν παντί σου τῷ βίῳ, καὶ κατῄσχυνας Κοσμᾶ, ἐχθρὸν τὸν πολυμήχανον, τὸν φθόνῳ τοὺς γενάρχας, ἐν Παραδείσῳ γυμνώσαντα.

Θεοτοκίον.

Σωματωθεὶς ὑπερφυῶς, ἐν σῇ ἀχράντῳ νηδύϊ, ὁ ἀσώματος Θεὸς πλατυτέραν, ἀληθῶς σε οὐρανῶν, ἀνέδειξε Θεόνυμφε, πρὸς πλάτος ὁδηγοῦσαν, ζωῆς ἡμᾶς τῆς ἀμείνονος.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὑπερφρονήσας νουνεχῶς τῶν ἐν κόσμῳ, ὥσπερ πτηνὸν ἐρημικὸν ἐβιώσω, ἐν δυσπροσίτοις φάραγξι καὶ ὄρεσι Κοσμᾶ· ἔνθεν κουφιζόμενος, ἀπαθείας τῇ αὔρᾳ, ἕως τοῦ Παντάνακτος, ἐπετάθης τῷ θρόνῳ, καὶ τὸ αὐτοῦ ἠξίωσαι ἰδεῖν, ὦ θεομάκαρ ἀθέατον πρόσωπον.

Θεοτοκίον.

Ῥητορευόντων σε οὐ σθένουσι γλῶσσαι, ἀνευφημῆσαι Θεοτόκε ἀξίως, καὶ ἐξειπεῖν τὰ θεῖα μεγαλεῖά σου· σὺ γὰρ τὸν φιλάνθρωπον, ἐσωμάτωσας Λόγον, τὸν ἡμᾶς λυτρώσαντα, τῆς ἀρχαίας κατάρας, ὃν ἐκτενῶς δυσώπει Μαριάμ, δοῦναι ἡμῖν ὡς οἰκτίρμων τὰ κρείττονα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Μιμησάμενος Ὅσιε, ἔρωτι ἁγίῳ Χριστοῦ τὸν Πρόδρομον, τῶν ἐν κόσμῳ μετηνάστευσας, καὶ ἐν τοῖς ἀοίκοις κατεσκήνωσας.

Ἀκτησίαν κτησάμενος, πάντα ὑπερέβης θεσμὸν τῆς φύσεως, καὶ Ἀγγέλοις Κοσμᾶ πέφηνας, τῇ διαγωγῇ σου ὁμοδίαιτος.

Θεὸν μόνον ἐπόθησας, γῆς τῶν φθειρομένων τε κατεφρόνησας, καὶ Κοσμᾶ εἰς κατοικίαν σου, τὰς σκηνὰς Παραδείσου ἀπέλαβες.

Θεοτοκίον.

Ἐπὶ σὲ τὴν ἐλπίδα μου, Κόρη ἀνατίθημι ὁ ταλαίπωρος· μὴ ἐάσῃς με ὡς εὔσπλαγχνος, τοῦ βελίαρ γενέσθαι ἐπίχαρμα.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ὁλικῇ διαθέσει, πρὸς τὰ ὑπερκόσμια ἀνατεινόμενος, τὸ τραχὺ ὑπῆλθες, ἀνενδότως Κοσμᾶ τῆς ἀσκήσεως· σὺ γὰρ προσδοκίᾳ, ὧν ὀφθαλμὸς Πάτερ οὐκ εἶδεν, ἐν καρδίας εὐθύτητι ἔχαιρες.

Φερωνύμως σῷ βίῳ, τὴν προσωνυμίαν νῦν ἔχεις μακάριε· τῆς γὰρ ἐρημίας, ὁ διάπυρος πόθος σε ἔφλεξεν, ἐν ᾗ καινουργεῖται, πᾶσα ψυχὴ μακρυνομένη, τῶν τῆς γῆς καὶ Κυρίῳ σχολάζουσα.

Ῥήξας φύσεως πάτερ, τὰ δεσμὰ ἀσκήσεως τοῖς ἀγωνίσμασι, τῶν ὑπὲρ τὴν φύσιν, ἐκομίσω Κοσμᾶ τὴν ἐνέργειαν. Ὅθεν τῶν θαυμάτων, ὀμβροβλυτεῖς χάριτι θείᾳ, τὰ σωτήρια ῥεῖθρα τοῖς χρῄζουσι.

Θεοτοκίον.

Ὁ ἐκ σοῦ ἀπειράνδρως, σάρκα προσλαβόμενος Μῆτερ ἀνύμφευτε, τὴν ἡμῶν οὐσίαν, εἰς τὴν πρώτην ἀνήγαγεν εὔκλειαν· ὃν ἀεὶ δυσώπει, ἐν παῤῥησίᾳ δωρηθῆναι, τῶν πταισμάτων ἡμῖν τὴν συγχώρησιν.

Καταβασία. Ὢ τρισμακάριστον ξύλον.

ᾨδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Νομίμως προσκαρτερῶν, νηστείαις πένθει δεήσεσι, τὸ φρόνημα τῆς σαρκός, Κοσμᾶ ἐταπείνωσας, καὶ ὄντως ἀπάθειαν, ἐστολίσω Πάτερ, οἷα κόσμον ὑπερκόσμιον.

Ἐμίσησας τὰ τῆς γῆς, ὑπερφιλήσας τὸν Κύριον, καὶ δι᾽ αὐτὸν ὦ Κοσμᾶ, ὡς ἄσαρκος ἔζησας, καὶ ὤφθης ἐπίγειος, Ἄγγελος ἐν κόσμῳ, τοῖς Ἀγγέλοις ἁμιλλώμενος.

Ῥημάτων ἐνηχηθείς, πνευματικῶν τοῦ Κυρίου σου, διήνυσας τὴν στενήν, ὁδὸν καρτερώτατα, καὶ εὗρες κατάλυμα, ἄξιον σῶν πόνων, ὦ Κοσμᾶ θεομακάριστε.

Θεοτοκίον.

Ἡλίου τοῦ νοητοῦ, ἀνατολῇ χρηματίσασα, ἀνάτειλον ἐν ἐμοί, τὸ φῶς θείας γνώσεως, ἀεὶ ἵνα μέλπω σοι, τὸν τοῦ Ἀρχαγγέλου, ἀσπασμὸν μόνη Μητρόθεε.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ὡς ἐγκρατείας ἀκριβοῦς θεῖον παράδειγμα,
καὶ ὑπὲρ φύσιν βιοτῆς σεπτὸν ὑπόδειγμα,
οἱ πιστοί σε μακαρίζομεν ὁμοφώνως.
Ἀλλ᾽ ὡς δόξης ἐντρυφῶν Κοσμᾶ τῆς κρείττονος,
τῷ Κυρίῳ ταῖς πρεσβείαις σου οἰκείωσον,
τοὺς βοῶντάς σοι· χαίροις Πάτερ ἰσάγγελε.

Ὁ Οἶκος.

Φύσεως ὑπερέβης, τοὺς θεσμοὺς ὑπὲρ φύσιν, βιώσας ἐπὶ γῆς θείῳ πόθῳ· διὸ ὑπὲρ φύσιν δωρεῶν, ἐν τοῖς ὑψίστοις Κοσμᾶ ἐκοινώνησας· ὅθεν σε μακαρίζομεν, οἱ εὐσεβεῖς ἀναβοῶντες·

Χαῖρε εἰκόνισμα ἐγκρατείας·
χαῖρε κειμήλιον ἡσυχίας.
Χαῖρε ὁ ἐν Κρήτῃ βιώσας ὡς ἄσαρκος·
χαῖρε ὁ δοξάσας ἀσκήσει τὸν Κύριον.
Χαῖρε μιμητὴς πανάριστος τοῦ θεσβίτου Ἠλιού·
χαῖρε θεῖον ἀφομοίωμα τοῦ ἐνδόξου Βαπτιστοῦ.
Χαῖρε ὅτι καθεῖλες τῶν παθῶν τάς ἐπάρσεις·
χαῖρε ὅτι ὑπῆλθες τῶν Ἀγγέλων τὸν βίον.
Χαῖρε Χριστοῦ θεράπων θερμότατος·
χαῖρε ἐχθροῦ πολέμιος κράτιστος.
Χαῖρε σοφὸς ἀσκητῶν ποδηγέτης·
χαῖρε ἡμῶν κραταιὸς παραστάτης.
Χαίροις Πάτερ ἰσάγγελε.

Μηνολόγιον.

Τῇ Β΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ τοῦ ἐρημίτου, τοῦ ἐν Κρήτῃ ἀσκήσαντος.

Στίχοι.

Βίον τὸν ἡσύχιον Κοσμᾶς ποθήσας
Ψαλμικῶς ἐμάκρυνεν ἐν ἐρημίαις.

Δευτερίῃ Κοσμᾶς ἐξεδήμησε σκηνὴν πρός κρείττω.

Συναξάριον.

Οὗτος ὁ μακάριος τοῦ Κυρίου θεράπων ἐγεννήθη ἐν Κρήτῃ, ἔνθα, ἀποταξάμενος τοῖς βιοτικοῖς πράγμασι, τὸν ἀσκητικὸν διήνυσε δίαυλον, μονώτατος ἐν ταῖς ἐρημίαις αὐτῆς διαιτώμενος, διὸ καὶ ἐρημίτης ἐπεκλήθη. Ἐκοιμήθη δὲ ἐν εἰρήνῃ τὸν Ὁσίοις πρέποντα ὕπνον περὶ τὸ χνη΄ (658) ἔτος.

Τετρακοσίων δὲ παρεληλυθότων ἐτῶν, ἐν ἔτει ͵αμη΄ (1058) Ἐνετοὶ ἔμποροι δι᾽ ἀποκαλύψεως τὰ τίμια αὐτοῦ λείψανα εὑρόντες, μετεκόμισαν ταῦτα εἰς Ἐνετίαν. Ἀπόκεινται δὲ νῦν εἰς τὸν ἐκεῖ Ναὸν τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου (S. Giorgio Maggiore).

Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

ᾨδὴ ζ΄. Παῖδες Ἑβραίων.

Μνήμην Κοσμᾶ ἐν ἐγκωμίοις, τὴν ἁγίαν σου τελοῦμεν γηθοσύνως· ἐπλεόνασας γάρ, δικαιοσύνης ἔργοις, καὶ δήμοις συνηρίθμησαι, ἐν ὑψίστοις τῶν Δικαίων.

Ἴθυνας ὄντως σὰς πορείας, τελειότητος πρὸς ὕψος ὡς ἐχέφρων· ἔνθα φθάσας Θεοῦ, τὴν θέαν ἐνωπτρίσω, Κοσμᾶ μακαριώτατε, ἀσκητὰ σημειοφόρε.

Τίς τὰς πολλάς σου ἀριστείας, εὐφημήσει ἐπαξίως θεομάκαρ; ἐν ἀσκήσει Κοσμᾶ, ἀγωνισθεὶς τὰ στίφη, τοῦ βροτοκτόνου ἔτρεψας, καὶ λαμπρῶς ἐθαυμαστώθης.

Θεοτοκίον.

Ἄχραντε Μῆτερ Θεοτόκε, χειμαζόμενος παθῶν ταῖς ἐπηρείαις, προστασίας τῆς σῆς, δυνάμει καταφεύγω· μή με ἀπώσῃ Δέσποινα, τὸν πολλὰ ἡμαρτηκότα.

Καταβασία. Ἔκνοον πρόσταγμα.

ᾨδὴ η΄. Τὸν Βασιλέα.

Κόσμου ματαίου, ἔξω γενόμενος Πάτερ, τῇ τοῦ Πνεύματος ἁγίᾳ κυβερνήσει, τρυφῆς ἀκηρά-

του, Κοσμᾶ εἰσῆλθες ἔνδον.

Ὕμνοις ἀεί σε, ἐγκωμιάζει ἡ Κρήτη, ὁσιώτατε Κοσμᾶ Ὁσίων κλέος, ὡς ἁγιασθεῖσα, τῇ σῇ στεῤῥᾷ ἀσκήσει.

Ῥῦσαι εὐχαῖς σου, ἀπὸ κινδύνων παντοίων, συμφορῶν τε ὦ Κοσμᾶ καὶ νοσημάτων, τοὺς τῇ κραταιᾷ σου, σπεύδοντας ἀντιλήψει.

Θεοτοκίον.

Ἴασαι Μῆτερ, τὴν ἀσθενοῦσαν ψυχήν μου, τῷ φαρμάκῳ τῆς ἁγίας χάριτός σου, ἵνα σε γεραίρω, τὴν Κεχαριτωμένην.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Λαμπρύνας τῆς ψυχῆς σου τὸ ὀπτικόν, ἐγκρατείας φαιδροῖς ἀγωνίσμασιν, ἐν ταῖς σκηναῖς, Πάτερ προσεχώρησας τῆς ζωῆς, καὶ μυστικῶς τεθέασαι, δόξαν τὴν ἀθέατον τοῦ Θεοῦ· διό σε ἐπαξίως, οἱ πιστοὶ εὐφημοῦμεν, Κοσμᾶ ἀζύγων ἐγκαλλώπισμα.

Λαμπρότατον φωστῆρα πάτερ Κοσμᾶ, ἡ Ἁγία Τριάς σε ἀνέδειξε, τῶν ἀρετῶν, λάμποντα ἀστέκτοις μαρμαρυγαῖς, καὶ πονηρίας λύοντα, τῶν πνευμάτων σκότος τὸ ζοφερόν· φωτὸς γὰρ τὰς εὐθείας, ἐπορεύθης πορείας, Θεὸν ποθήσας ἀεισέβαστε.

Ὁ θεῖος ἐρημίτης καὶ θαυμαστός, τὸ τῆς Κρήτης σεπτὸν ἐγκαλλώπισμα, ὁ τὸν ζυγόν, χαίρων τὸν χρηστότατον ὑπελθών, Κοσμᾶ θεομακάριστε, καί εἰς καταπαύσεις τὰς μυστικάς, ἀξίως καταπαύσας, ἡμῶν μὴ ἐπιλάθῃ, τῶν ἐκτελούντων σὸν μνημόσυνον.

Θεοτοκίον.

Ὑπέραγνε Μαρία Μῆτερ Θεοῦ, ὑπεράμωμε Κόρη πανύμνητε, μετὰ Θεόν, μόνην σε γνωρίζω καταφυγήν, παραμυθίαν στήριγμα, ἔνθεον ἀντίληψιν καὶ χαράν· διό σε μακαρίζω, ἀεὶ ἐν κατανύξει, καὶ μεγαλύνω τὴν λοχείαν σου.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ἀπαρνησάμενος κόσμον, καὶ τὰ ἐν κόσμῳ ὁλικῶς, ἀσκητικῶς τοῦ Κυρίου, ὀπίσω ἔδραμες Κοσμᾶ, ᾧ καὶ ἡνώθης βιώσας, ἐπὶ τῆς γῆς ὑπὲρ φύσιν.

Ἕτερον. Ὅμοιον.

Σήμερον τέρπεται Κρήτη, ἡ ἑκατόμπολις Κοσμᾶ, ἐπιτελοῦσα εὐσήμως, τὴν μνήμην σου τὴν εὐαγῆ, ἣν περιφρούρει ἀπαύστως, ταῖς θεοδέκτοις εὐχαῖς σου.

Θεοτοκίον.

Μῆτερ Θεοῦ τοῦ Ὑψίστου, εὐλογημένη Μαριάμ, ὡς εὐμενὴς μὴ παρίδῃς, τὴν ἐκ βαθέων μου φωνήν, ἀλλ' ἐπιστᾶσά με ῥῦσαι, τῆς μήνιδος τοῦ δολίου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καί ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φιλοσίων τὰ τάγματα, εὐσεβῶς νῦν συνδράμωμεν, καὶ ᾀσμάτων στέμμασιν ἀναδήσωμεν, τὸν δι' ὁσίας ἀσκήσεως, ὡς Ἄγγελον ζήσαντα, ἀληθῶς ἐπὶ τῆς γῆς, καὶ χαρίτων τοῦ Πνεύματος, χρηματίσαντα, τοῦ Ἁγίου ὑπέρτιμον δοχεῖον, ὦ Κοσμᾶ ἀναβοῶντες, σκέπε ἡμᾶς ταῖς πρεσβείαις σου.

Προχοαῖς τῶν δακρύων σου, δαψιλῶς ἀρδευόμενος, ὥσπερ δένδρον ὅσιε εὐθαλέστατον, ἐν Κρητονήσου τοῖς ὄρεσι, πλουσίως ἐξήνεγκας, παγκαρπίαν θαυμαστήν, ἀρετῶν τῶν τῆς χάριτος, δι' ὧν πάντοτε, μοναστῶν διατρέφεις τὰς ἀγέλας, ὦ θεόφρον ἐρημῖτα, Κοσμᾶ Ἀγγέλοις ἐφάμιλλε.

Τὴν ψυχὴν καθαιρόμενος, ἐγκρατείας παλαίσμασι, καὶ εὐχαῖς σὺν δάκρυσιν ἱλασκόμενος, τὸν πολυέλεον Κύριον, Κοσμᾶ παναοίδιμε, ἀπαθείας τὴν φαιδράν, ἠμφιέσω εὐπρέπειαν, καὶ ἀνέδραμες, λαμπροφόρος σκηνὰς πρὸς τὰς ἀφθάρτους, μνημονεύων τῶν τιμώντων, τὸ ἱερόν σου μνημόσυνον.

Δοξασθεὶς τῇ ἀσκήσει σου, ὁ Θεὸς ἐθαυμάστωσε, βίον σου μακάριε τὸν οὐράνιον, καὶ ποταμὸν πολυχεύμονα, θαυμάτων ἀνέδειξεν, παναοίδιμε Κοσμᾶ, τὴν σορὸν τῶν λειψάνων σου. Ὅθεν σήμερον, εὐφημεῖ σε ἡ Κρήτη γηθοσύνως, ἣν εὐχαῖς σου περιφρούρει, ἐκ πολεμίων ἀχείμαστον.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Μακάριος εἶ, Κοσμᾶ ἐρημοπολῖτα, θεράπον γνήσιε Θεοῦ, ὅτι ἀσκητικῶς γεωργήσας, τῆς

καθαρᾶς σου ψυχῆς τὰς ἀρούρας, ἔχεις νῦν τοὺς καρπούς σου εἰς ἁγιασμόν· ἐν οὐρανοῖς γὰρ πολὺς ὁ μισθός σου, ὡς ἔφη τῆς ἀληθείας τὸ στόμα, Χριστὸς ὁ Κύριος γέγονεν. Αὐτὸν οὖν ἱκέτευε, ἐν παῤῥησίᾳ δεόμεθα πολλῇ, τῇ οἰκουμένῃ τὴν εἰρήνην δωρήσασθαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν, ὡς μόνος ἐν ἐλέει ἀνείκαστος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Δοξολογία Μεγάλη καὶ ᾿Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ ῾Οσίου ἡ γ΄ καὶ στ΄ ᾿Ωδή. ᾿Απόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ιζ΄ ᾿Ιανουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. ᾿Αλληλούϊα.

Μεγαλυνάριον.

Ἄρας τοῦ Κυρίου σου τὸν ζυγόν, ἔζησας ἐν Κρήτῃ, βίον Πάτερ ἀσκητικόν, καὶ ἀπογυμνώσει, τῶν ἐπιγείων πάντων, στολὴν περιεβάλου, Κοσμᾶ τῆς χάριτος.

Δίστιχον.

*Κύριλλος Κοσμᾶ πιστῶς ἀνύμνησέ σε*
*ἄνθος τὸ τερπνὸν ἀσκήσεως ὁσίας.*

